ὣς ἔφατ'· εἰσὶ καὶ οἵδε τάδ' εἰπέμεν, οἵ μοι ἕποντο,
Αἴας καὶ κήρυκε δύω, πεπνυμένω ἄμφω.
690 Φοῖνιξ δ' αὖθ' ὁ γέρων κατελέξατο· ὣς γὰρ ἀνώγει,
ὄφρα οἱ ἐν νήεσσι φίλην ἐς πατρίδ' ἕπηται
αὔριον, ἢν ἐθέλῃσιν· ἀνάγκῃ δ' οὔ τι μιν ἄξει.

688—693: ἀθετοῦνται στίχοι πέντε ἕως τοῦ αὔριον, ἢν ἐθέλῃσιν, ὅτι κοινότεροι τοῖς νοήμασι, καὶ τῇ συνθέσει πεζότεροι, καὶ ὅτι ὡς ἀπιστησόμενος μάρτυρας ἐπισπᾶται. A. κοινότεροι L. pro καὶ νεώτεροι.

ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ
694 μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀγόρευσεν.

694: ὅτι ἐξ ἄλλων τόπων ἐστὶν ὁ στίχος· νῦν γὰρ οὐχ ἁρμόζει· τότε γὰρ εἴωθεν ἐπιφωνεῖσθαι, ὅταν ὁ αὐθεντῶν τοῦ λόγου καταπληκτικά τινα προενέγκηται. νῦν δὲ πῶς ἂν ἐπὶ Ὀδυσσέως λέγοιτο τοῦ μηνύοντος τὰ ὑπ' Ἀχιλλέως εἰρημένα; (v. ad *Η* 404). A.

698 *μηδ' ὄφελες λίσσεσθαι ἀμύμονα Πηλείωνα*: ἀντὶ τοῦ οὐκ (immo οὐδ') ὄφελες. AD. Recepi hoc dubitanter, cum propter diplen quae in textu est, tum propter adnot. ad *Ο* 41.

699 *ὁ δ' ἀγήνωρ ἐστὶ καὶ ἄλλως*: ἡ διπλῆ ὅτι ἐνίοτε μὲν ἐπὶ ἐπαίνου ὁ ἀγήνωρ, ὁ ἄγαν τῇ ἠνορέῃ καὶ τῇ ἀνδρείᾳ χρώμενος, νῦν δὲ ἐπὶ ψόγου, ὁ ἄγαν ὑβριστικὸς καὶ διὰ τῆς ἀνδρείας ὑπερπεπτωκὼς εἰς ὕβριν. A. Ar. 148.

708 *καρπαλίμως πρὸ νεῶν ἐχέμεν λαόν τε καὶ ἵππους ὀτρύνων, καὶ δ' αὐτὸς ἐνὶ πρώτοισι μάχεσθαι*: ἡ διπλῆ ὅτι τὸν λόγον τοῦτον ἀκήκοεν κατὰ τὸ σιωπώμενον ὁ Ἀχιλλεύς. διό φησιν οὐ γὰρ Τυδείδεω Διομήδεος ἐν παλάμῃσι μαίνεται ἐγχείη (*Π* 74). καὶ ὅτι τῷ ἀπαρεμφάτῳ ἀντὶ τοῦ προστακτικοῦ κέχρηται (cf. V. ad 708 et p. 14). καὶ ὅτι τῇ ἐχομένῃ Ἀγαμέμνων ἀριστεύει. A.

---

## ΕΙΣ ΤΗΝ Κ.

1 *ἄλλοι μὲν παρὰ νηυσὶν ἀριστῆες Παναχαιῶν*:



5 ὡς δ' ὅτ' ἂν ἀστράπτῃ πόσις Ἥρης ἠυκόμοιο —
6 τεύχων ἢ πολὺν ὄμβρον ἀθέσφατον ἠὲ χάλαζαν
7 ἢ νιφετόν, ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας —
9 ὣς πυκίν' ἐν στήθεσσιν ἀνεστενάχιζ' Ἀγαμέμνων.
10 νειόθεν ἐκ κραδίης, τρομέοντο δέ οἱ φρένες ἐντός.

5: ἡ διπλῆ, ὅτι παραβάλλει τὸν στεναγμόν· ὡς δ' ὅτ' ἂν — οὕτως καὶ ἡ τοῦ Ἀγαμέμνονος ψυχὴ ἐστέναζεν. καθ' ἕκαστα δὲ οὐκ ἐπεξείργασται, διότι οὐκ ἔστι πρὸς ἅπαντα ἡ εἰκών. A.

6. Aristonicus sic fere videtur scripsisse: ὅτι νείφειν μὲν τὸ χιονίζειν, ὄμβρον δὲ τὸν ὑετόν, χάλαζαν δὲ τὸ ἐν ὑετῷ πεπηγὸς ὕδωρ. διὸ νῦν διαστέλλει ἕκαστον (Cf. ad *Μ* 280 *Ο* 170). Nunc haec leguntur in A: ὅτι ὑγιῶς χρώμενοι νείφειν μὲν λέγουσι τὸ χιονίζειν κτλ.

10 *τρομέοντο*: ὅτι Ζηνόδοτος γράφει φοβέοντο. τὸν δὲ φόβον εἴωθε λέγειν Ὅμηρος τὴν μετὰ φυγῆς δειλίασιν (cf. ad *Δ* 456). ἐλέγχεται δὲ ὁ Ζηνόδοτος ἁμαρτάνων ἐκ τοῦ ὣς δ' αὕτως Μενέλαον ἔχε τρόμος (25). A.

13 *αὐλῶν συρίγγων τ' ἐνοπήν, ὅμαδόν τ' ἀνθρώπων*: ἡ διπλῆ ὅτι ἐνθάδε καὶ ἐπὶ τῆς ὁπλοποιίας τῶν αὐλῶν μέμνηται· αὐλοὶ φόρμιγγές τε βόων (*Σ* 495). A. Ar. 198.

23 *ἀμφὶ δ' ἔπειτα δαφοινὸν ἑέσσατο δέρμα λέοντος*: ἡ διπλῆ ὅτι ἐπὶ τῷ χιτῶνι λεοντῆν τέθεικεν ἀντὶ τῆς χλανίδος· διὸ καὶ ἑξῆς (34) λέγει τὸν δ' εὗρ' ἀμφ' ὤμοισι τιθήμενον ἔντεα καλά. ἔντεα δὲ ἀπὸ τοῦ ἐντὸς ἔχειν τὸν ἄνδρα (Ar. 147). καὶ ὅτι οὐ καθοπλίζονται νύκτωρ, ἀλλ' ἕνεκα φυλακῆς ὁ μὲν παρδαλῆν ἐνδύεται (Menelaus v. 29), οἱ δὲ λεοντῆν (praeter Agamemnonem Diomedes 177). A. χλανίδος scr. L. pro ἀσπίδος, idem inseruit verba: ὁ μὲν παρδαλῆν ἐνδύεται.

25 *ὣς δ' αὔτως Μενέλαον ἔχε τρόμος*: ἡ διπλῆ ὅτι ἀνταποδοτικόν ἐστι τοῦ ἄνω (10) [γράφειν] τρομέοντο δέ οἱ· ἡ δὲ ἀναφορὰ πρὸς Ζηνόδοτον. ABLV. γράφειν corruptum est. An fuit πρὸς τὴν Ζηνοδότου γραφήν?

27 *πουλὺν ἐφ' ὑγρήν*: ἡ διπλῆ πρὸς τὸ σχῆμα, ὅτι

# ARISTONICI

# ΠΕΡΙ ΣΗΜΕΙΩΝ ΙΛΙΑΔΟΣ

## RELIQUIAE EMENDATIORES.

EDIDIT

**LUDOVICUS FRIEDLAENDER.**

**GOTTINGAE,**